13 Οκτωβρίου 2014

# Ευχή εις τον Κύριον ημών Ιησούν Χριστόν.

/




Άνοιξον, Δέσποτα, τήν πλουσίαν σου χείρα είς χορηγίαν κατανύξεως της ταλαίπωρου ψυχής μου. Δώρησαι ταπείνωσιν τη καρδία μου, καί άφελε ταύτης τήν ασέβειαν. Ού δύναται γή άφ’ εαυτής βλαστήσαι, άνευ επισκοπής της σης αγαθότητος• ουδέ καρδία ανθρώπου κατανυγήναι, άνευ τής θείας σου επισκέψεως καί χάριτος φιλάνθρωπου.
Όθεν δέομαι τής σής αγαθότητος. Δώρησαί μοι δάκρυα τώ αμαρτωλώ του πενθείν έν οδύνη καί πόνω καρδίας τάς αμαρτίας μου, καί θρηνείν ενώπιον σου αεί, ώς πάσης τιμωρίας υπεύθυνος• τήν γάρ εμαυτού ψυχήν ό άθλιος αθλίως εφόνευσα παραβάς τά σωτήρια προστάγματα σου. Ός έπί του φοβερου σου καί απροσωπολήπτου παρεστηκώς βήματος, Χριστέ Βασιλεύ, καί δίκας υπέχων, και λόγον ποιούμενος των εμοί πεπραγμένων, ούτω σήμερον, προ του φθάσαι την ήμέραν έκείνην της κατακρίσεώς μου, ενώπιον της ιεράς σου εικόνος ιστάμενος, κατακαμπτόμενός τε και ελεγχόμενος υπό του συνειδότος μου, εξαγγέλλω τάς πράξεις μου, υποδεικνύω τά τραύματα μου, και δημοσιεύω αυτά.
Συ δέ φιλάνθρωπε, ίλεως γενού μοι τω αμαρτωλώ, και άφες τάς ανομίας μου. Ιδού, Κύριε, γυμνός και τετραχηλισμένος παρίσταμαί σοι, εξομολογούμενος όσα είς αγανάκτησίν σου διεπραξάμην. Ήμαρτόν σοι, Κύριε μου, έν ασωτείαις, αδικίαις, ασελγείαις, μέθαις, γαστριμαργίαις, αδηφαγίαις, καταλαλιαίς, υπερηφανείαις, και ετέροις αναριθμήτοις παραπτώμασιν. Αδελφόν γάρ εξουθένησα• τω πλησίον μου εφθόνησα• της προσευχής μου ημέλησα• ελάττωμα του αδελφού μου εθεασάμην και κατ’ αυτού εθυμώθην, τά δέ εμά παραπτώματα παραβλέπω άπειρα όντα.

Πάσαν αμαρτίαν μεθ’ υπερβολής και σπουδής διετέλεσα• πάντα δέ μου τά μέλη και μέρη ταίς αμαρτίαις υπηρετείν ηρέθισα.
Οι οφθαλμοί μου μοιχείαις πεπλήρωνται• ή γλωσσά μου μάχαιρα οξεία κατά του πλησίον μου εγένετο• αι χείρες μου πάσαν αμαρτίαν διέπραξαν οί πόδες μου επί ψυχοφθόροις πάθεσιν οξέως έδραμον τόν νουν μου δι’ ενθυμήσεων πονηρών κατεμόλυνα• πάσάν μου αίσθησιν ψυχικήν και πάν μέλος τής ελεεινής μου σαρκός διαφόρως εμίανα• αι γάρ αμαρτίαι μου πέρα του μέτρου τυγχάνουσι• εμίανα τήν γήν σύν τω αέρι• και πλην τής μακροθυμίας σου, Κύριε μου, ή γή ούκ άν ήδύνατο διά τά κακά μου βαστάζειν με τόν πανάθλιον ποίαν γάρ αμαρτίαν ούκ εποίησα; ποίον κακόν ού διετυπωσάμην έν τη ψυχή μου ό ασυνείδητος; ποίαις ακαθαρσίαις και βδελυρίαις ού διεφθάρην ό άθλιος; καίτοι καθ’ εκάστην νουθετούμένος, διδασκόμενος και οδηγούμενος ύπό των αγίων Προφητών, Αποστόλων, Διδασκάλων, και υπό του σεπτού σου Ευαγγελίου παραγγελλόμενος, και τής του αγίου Πνεύματος χάριτος φωτιζόμενος• ποίας ούν συγγνώμης ειμί άξιος ήδη ό πανάθλιος;
‘Αλλ’ ώ Πολυέλεε, επίβλεψον έπ’ έμοί τω αμαρτωλώ• σπλαγχνίθητί μοι τω ασώτω και υπευθύνω πάσης κολάσεως• φώτισον τήν αναίσθητόν μου ψυχήν θεάσασθαι τάς ανομίας μου και κατανοήσαι τήν αμέλειαν και αναλγησίαν μου. Ουαί μοι, ότι έν ακηδία και αδιαφορία και αισχροίς λογισμοίς τόν προς μετάνοιαν δοθέντα μοι καιρόν κατηνάλωσα. Ουαί μοι ότι αμεριμνώ και μετεωρίζομαι αναίσθητων, ώς μή έχων εγκλήματα και ώς μή είναι κρίσιν και ανταπόδοσιν. Ουαί μοι ότι ήμαρτον υπέρ πάντα άνθρωπον και μετάνοιαν ουδόλως έχω.
Ώ ψυχή μου, ελθέ σεαυτή• μνήσθητι τά βαρέα των αμαρτημάτων σου φορτία άπερ βαστάζεις και ού βλέπεις, αναίσθητε• ιδέ τά πλήθη των αμαρτιών σου, και κλαύσον μετά πικρών δακρύων έως καιρός σοι ενέστηκε, πριν τό φοβερόν σοι ελεύσεται πρόσταγμα• πριν παρέλθη ό καιρός της μετανοίας σου• πρό του ελθείν σε ού ούκ έστι μετάνοια, ουδέ ποσώς ωφελούσι τά δάκρυα.
Ουαί μοι τω άμαρτωλω πότε άρα τοσούτον εκβλύσω δάκρυον, ίνα αντισωθή τω ύδατι του βαπτίσματος, όπερ από της δίκης απαιτηθήσομαι, επεί τό πρώτον ηχρείωσα; Εγώ δέ ούτως ό
οφείλων και υπό του συνειδότος μου ελεγχόμενος, ούτε καρδίαν καθαράν, ούτε ταπείνωσιν όλως έχω, άλλ’ υπέρ τους αδελφούς μου επαίρομαι.
Ουαί μοι, όταν παραστώσι κατά πρόσωπον μου αί ανομίαι μου, όσαι και οίαι παρ’ εμού διεπράχθησαν, έως αργού λόγου και πονηρών και ρυπαρών ενθυμήσεων τότε γάρ αναβρασσομένης της καρδίας, τό στόμα φραγήσεται• και ελεγχομένης της διανοίας ό νους σκοτισθήσεται και τό πρόσωπον αλλοιωθήσεται.

Ουαί μοι όταν ίδω εμαυτόν γεγυμνωμένον και μεμελανωμένον και περίλυπον διά πρόσκαιρον απόλαυσιν τής φθειρομένης σαρκός, δυσωδίας οσμήν απόζοντα, και εις φλόγα γεέννης αποπεμπόμενον. Έν δέ τω άδη εκείνω τίς μου τήν φλόγα κατασβέσει; ού γάρ έστιν εκεί θάνατος έτερος.

Οίδα, Κύριε, ότι κατά τάς αμαρτίας μου δίκαιον έστιν εμέ τόν πανάσωτον ριφήναι είς γέενναν δίκαιον έστι ριφήναί με τόν άσωτον είς τό πύρ τό αιώνιον, ότι όλην μου τήν ζωήν έν αμαρτίαις κατεδαπάνησα• ότι και τήν παραμικράν ώραν της ζωής μου κακώς κατηνάλωσα• ουδείς γάρ έν γνώσει ήμαρτεν ώς έγώ• ουδείς εκουσίως ωλίσθησεν ώς έγώ ό τάλας• ποία λοιπόν κόλασις υποδέξεταί με τόν άθλιον;

Συντρίβεται ή καρδία μου• τρέμει και φρίττει μου ή ψυχή διά τήν αφοβίαν ην έχω αμαρτάνων ό άθλιος, και μή εννοών τά αποκείμενα εκείνα δεινά τοις κατ’ έμέ αμαρτωλοίς• μή εννοών ότι ή λογοποίησις φοβερά, και ό έλεγχων απαραλόγιστος, και ή απόφασις αμετάθετος• και οί Άγγελοι άσπλαγχνοι και ανελεήμονες, και ή γέεννα αιώνιος, και ό εσμός τών σκωλήκων ακοίμητος, και τό σκότος εξώτερον, και ό κλαυθμός απαράκλητος, ό δέ από Θεού χωρισμός, ό πάσης γεέννης δεινότερος, αιώνιος. Ώ καρδία ανάλγητε, επίστρεψον βλέπουσα τήν του Θεού απειλήν, και συντρίφθητι μετανοούσα και κλαίουσα διά τάς πράξεις σου• ότι ουδεμίαν πρόφασιν έξει, έν εκείνη τη φρικτή δίκη περί τών σών αμαρτημάτων.

Ό Θεός ό αιώνιος, ό έκ μή όντων τά πάντα παραγαγών, ή άβυσσος του ελέους, ελέησόν με τόν αμαρτωλόν και δώρησαί μοι τω αθλίω κλαυθμόν του θρηνείν διά παντός, ίνα εύρω έλεος έν τη φρικτή δίκη εκείνη. Κύριε, ημάρτηκα υπέρ τής θαλάσσης τήν ψάμμον και υπέρ πάντα άνθρωπον τήν αγαθότητα σου παρώργισα. Οίμοι, Κύριε, ότι έλαβον πείραν τών πολλών σου οικτιρμών. Εφώτισας τόν νουν μου τω θείω φωτί σου• έλαμψας έν τη καρδία μου τήν γλυκύτητα τής αγάπης σου. Εγώ δέ ό τάλας άνευ τινός ανάγκης ήμαρτον. Οίμοι, Κύριε, ότι έν γνώσει τάς θείας σου εντολάς κατεφρόνησα, τώ δέ εχθρώ της ψυχής μου επηκολούθησα και την αθλίαν ψυχήν μου πολυτρόπως κατέχρανα. Οίμοι, Κύριε, ότι πολλοίς χαρίσμασί με εκόσμησας και μυρίων αγαθών με ενέπλησας. Εγώ δέ ό αχάριστος, αγνώμων φανείς περί σέ τόν ευεργέτην μου, πάν πονηρόν και φαύλον διεπραξάμην. Ταύτά μοι έσονται πικροί κατήγοροι έπί της φοβέρας δίκης• ταύτα ανίλεών μοι τόν Κριτήν ποιήσουσν ταύτα πικροτέροις βασάνοις με παραπέμψουσιν άξιος γάρ είμι πάσης κολάσεως• μόνος εγώ κρίνω εμαυτόν ού δέομαι δικαστού προς απόφασιν έν τω συνειδότι μου φέρω τους μάρτυρας και έν τη ψυχή μου βαστάζω τό φοβερόν δικαστήριον.

Ελέησόν με, ό Θεός, κατά τό μέγα έλεος σου• ού τολμώ ατενίσαι είς ουρανούς, ρυπαρούς έχων τους οφθαλμούς• εμολύνθησαν γάρ υπό τών ενηδόνων και αισχρών θεωρημάτων. Ελέησόν με, Κύριε, τόν επί γης ερριμμένον έν καταδίκη πολλών αμαρτημάτων. Ελέησόν με τόν τελωνίσαντά μου τήν ψυχήν και καθ’ όλην μου τήν ζωήν λόγοις και έργοις αυτήν μιάναντα. Ελέησόν με τόν διά ραθυμίαν και γνώμην

πονηράν δούλον τών ηδονών γενόμενον. Ελέησόν με τόν μυριάκις ελεηθέντα και μυριάκις σε αθετήσαντα. Ελέησόν με τό ποίημα τών θείων χειρών σου τό πολλών δακρύων επάξιον. Κύριε, εμοί τώ αμαρτωλώ έθου μετάνοιαν. Ήμαρτον, Κύριε μου, ήμαρτόν σοι, και παρεπίκρανα σέ τόν ποιητήν και ευεργέτην και ελευθερωτήν μου. Αί ανομίαι μου, Δέσποτα, υπερήραν τήν κεφαλήν μου, οί δέ μώλωπες μου προσώζεσαν και εσάπησαν και ή επάρατος μου ζωή ωσεί καπνός παρήλθεν. Όθεν απόκειται μοι δικαίως αθάνατα βασανίζεσθαι έν τη φλογί της γεέννης.
Άλλ’ επεί πολυεύσπλαγχνος ει, μακρόθυμε και πανοικτίρμων Βασιλεύ, θαυμάστωσον και έπ’ εμοί τω δυστήνω τά ελέη σου, και δώρησαί μοι τω αμαρτωλώ πασών μου τών αμαρτιών τήν συγχώρησιν, ών σοι ήμαρτόν, παρ’ όλον τόν της ζωής μου χρόνον, λόγω ή έργω, ή διάνοια και αίσθήσει μου πάση.
Κράτησον δέ το υπόλοιπον της ζωής μου εις τό θέλημα σου το άγιο ν και οίς αυτός μόνος επίστασαι τρόποις και κρίμασι σώσόν με τόν ανάξιον δούλόν σου. Ίνα κάγώ ο ταπεινός μετά πάντων των τω σώ ελέει σωθέντων δοξάζω και προσκυνώ σε τον έν Πατρι και Πνεύματι δοξαζόμενον θεόν Λόγον. Αμήν.

**Πηγή**: agiosioannisprodromos.blogspot.gr